οὖν ἂν ἐκείνοις ἠξίωσε κηδεστὴς γενέσθαι, ἐπεὶ ὅτι γε
οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντὸς
14 καὶ τῶν ἔργων τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ᾽ ἦν ἐν
τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην,
τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, ὅτι δὲ
Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου ὑέος, ὃς οὐ
μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν
15 αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδελ-
φὰς ἐθελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων
οὐκ ἔδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέναι, ἀλλὰ τὴν
μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίω ἡγοῦν-
ται εἶναι ἢ πλουσιώτερον, τὴν δὲ πένητι γεγενημένῳ οὐ
διὰ κακίαν, ἀδελφιδῷ δὲ ὄντι Φαίδρῳ ⟨τῷ⟩ Μυρρι-
νουσίῳ, ἐπιδοὺς τετταράκοντα μνᾶς, κᾆτ᾽ Ἀριστοφάνει
16 τὸ ἴσον. πρὸς δὲ τούτοις ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα
λαβεῖν ἐλάττω συνεβούλευσεν, ὥστε εὖ εἰδέναι ὅτι κη-
δεσταῖς χρησοίμην κοσμίοις καὶ σώφροσι. καὶ νῦν ἔχω
γυναῖκα τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν,
ὃς ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο
17 ⟨ἡ⟩ ἐν Ἑλλησπόντῳ. καίτοι, ὦ ἄνδρες δικασταί, ὅστις
αὐτός τε ἄνευ χρημάτων ἔγημε τοῖν τε θυγατέροιν πολὺ
ἀργύριον ἐπέδωκε τῷ τε ὑεῖ ὀλίγην προῖκα ἔλαβε, πῶς
οὐκ εἰκὸς περὶ τούτου πιστεύειν ὡς οὐχ ἕνεκα χρημάτων
τούτοις κηδεστὴς ἐγένετο;
18 Ἀλλὰ μὴν ὅ γε Ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκα
ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο ἢ τῷ ἐμῷ πατρί, ῥᾴδιον
γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος, ἥ τε φύσις
ἔτι πλέον· ἐκείνῳ μὲν γὰρ ⟨ἀρκοῦν⟩ ἦν τὰ ἑαυτοῦ
πράττειν, Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων ἀλλὰ
καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι, καὶ εἴ τι ἦν
19 αὐτῷ ἀργύριον, ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. γνώσεσθε

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/170 UNIVERSITÄT LEIPZIG